www.tezaurliturgic.ro

# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ
## ΟΣΙΟΥ & ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΙΛΑΡΙΩΝΟΣ
## ΤΟΥ ΙΒΗΡΟΣ

Ψαλλομένη τῇ ιδ' τοῦ μηνός Φεβρουαρίου



*ΕΚΔΟΣΙΣ*
*Ι. Κ. ΑΓ. ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ*
*ΝΕΑ ΣΚΗΤΗ - Τ.Κ. 63087 - ΑΓΙΟΝ ΟΡΟΣ*

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro


# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

## ΟΣΙΟΥ & ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΙΛΑΡΙΩΝΟΣ

# ΤΟΥ ΙΒΗΡΟΣ

*Σιλουανοῦ Μοναχοῦ*

*ΕΚΔΟΣΙΣ*

*Ι. Κ. ΑΓ. ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ*

*ΝΕΑ ΣΚΗΤΗ - Τ.Κ. 63087 - ΑΓΙΟΝ ΟΡΟΣ*

**2015**

www.tezaurliturgic.ro


*@ Μοναχός Παΐσιος*
*Ι. Κ. ΑΓ. ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ*
*ΝΕΑ ΣΚΗΤΗ - Τ.Κ. 63087 - ΑΓΙΟΝ ΟΡΟΣ*
*Τηλ: 23770 23044*
*www.agiostheologos.gr*
*email: agiostheologos@gmail.com*

***ISBN: 978-960-98873-6-6***

www.tezaurliturgic.ro



## Σύντομος Βίος τοῦ Ὁσίου Ἱλαρίωνος τοῦ Ἴβηρος

Ὁ Ἅγιος Ἱλαρίων ὁ Ἴβηρ γεννήθηκε στή δυτική Γεωργία τό 1776. Οἱ γονεῖς του ἦσαν πολύ εὐλαβεῖς. Τό κατά κόσμον ὄνομά του ἦταν Ἰεσσαΐ. Ὅταν ἦταν ἀκόμη παιδί ἐπηρεάσθηκε ἀπό τόν ἀδελφό τῆς μητέρας του, Ἱεροδιάκονο Στέφανο, ὁ ὁποῖος ἦταν μεγάλος ἀσκητής. Ἔμεινε κοντά του δώδεκα ἔτη. Μετά τήν κοίμηση τοῦ θείου του ἔμεινε λίγο στή Μονή Ταμπακίνι καί στήν πατρική του οἰκία. Μετά ἀπό ἐπιθυμία τοῦ πατέρα του ὑπηρέτησε τόν Βασιλέα τῆς Ἰμερέτης Σολομῶντα, ζώντας μέσα στό παλάτι βίο ἀσκητικό. Νυμφεύθηκε καί χειροτονήθηκε ἱερέας τῶν Ἀνακτόρων. Μετά δύο ἔτη ἐκοιμήθηκε ἡ πρεσβυτέρα αὐτοῦ Μαρία καί ἀφιερώθηκε ἐξ ὁλοκλήρου στό Θεό. Ἀκολούθησε τόν Βασιλέα στήν ἐξορία, μετά δε τήν κοίμηση αὐτοῦ στήριξε πνευματικά τήν Βασίλισσα στή Μόσχα. Ἐκεῖ ἀρνήθηκε πρόταση γιά ἄνοδο στό ἀρχιερατικό ἀξίωμα καί ἀποφεύγοντας τούς πειρασμούς τῶν ἀνακτόρων, ἀπεμακρύνθηκε κρυφά. Ἀποσύρθηκε σέ ἔρημο, μετά μετέβηκε στήν Ὀδησσό, στή Κωνσταντινούπολη καί στό Ἅγιο Ὄρος τό 1819, ἀνταλλάξας τά πολυτελή ἐνδύματα αὐτοῦ μέ τά κουρέλια ἑνός ζητιάνου.

Μετέβηκε στήν Μονήν τῶν Ἰβήρων, μετά στήν Διονυσίου, ὅπου τό 1821 ἔγινε μεγαλόσχημος μοναχός λαβών τό ὄνομα Ἱλαρίων. Διακονοῦσε σέ ὅλα τά βαριά καί δύσκολα διακονήματα. Ὅταν ἀποκαλύφθηκε ὅτι ἦταν Ἱερέας καί πνευματικός τῶν ἀνακτόρων, διωρίσθηκε ἀπό τόν Ἡγούμενο πνευματικός τῆς Μονῆς Διονυσίου.

www.tezaurliturgic.ro


Ποθώντας τό μαρτύριο ἀπεδέχθηκε μέ τήν θέλησή του νά ἐμφανιστεῖ ἀντί τοῦ Ἡγουμένου στό Τούρκο κυβερνήτη τῆς Θεσσαλονίκης μαζί μέ τούς ὑπόλοιπους ἐκπροσώπους τῶν Μονῶν τοῦ Ἁγίου Ὄρους. Κατά τρόπο θαυμαστό ἐσώθηκε καί συμπαρεστάθηκε πολύ στούς φυλακισμένους ἀδελφούς.

Ἐπέστρεψε καί ἀπεσύρθηκε σέ σπήλαιο, πλησίον τῆς Μονῆς Διονυσίου, ὅπου ἔζησε πολλά καί μεγάλα θαύματα. Στή συνέχεια, λυπούμενος γιά τίς ἀρνητικές ἀπόψεις τῶν ἀδελφῶν περί συχνούς θείας Μεταλήψεως μετέβη εἰς τήν Νέα Σκήτη καί ἐγκλείστηκε στό Πύργο γιά τρία ἔτη. Ἡ ἄσκηση, ἡ ἀγρυπνία καί ἡ προσευχή τοῦ Ὁσίου Ἱλαρίωνος προκάλεσαν τούς δαίμονας, οἱ ὁποῖοι μέ πολλούς καί ποικίλους πειρασμούς καί ἐμφανίσεις προσεπάθησαν νά κάμψουν τό φρόνημά του καί νά τόν ἀναγκάσουν νά ἐξέλθει τοῦ Πύργου. Ἐπικαλεῖται τίς προσευχές τῶν συνασκητῶν πατέρων καί ἀφοῦ δοκιμάσθηκε καί βασανίσθηκε ἀπό τούς δαίμονες, διέκοψε τόν ἐγκλεισμό καί φιλοξενήθηκε ἐξαθλιωμένος σέ Καλύβη τῆς Νέας Σκήτης.

Ὅταν συνῆλθε πῆγε στή Μονή Ἰβήρων καί τέλος ἐγκαταστάθηκε στό κελλί τῶν Ἁγίων Ἀποστόλων. Ἀπέκτησε προορατικό χάρισμα καί βίωσε ὑψηλές πνευματικές καταστάσεις. Δοκιμάσθηκε καί ἀπό τόν ἀνθρώπινο φθόνο καί περιῆλθε διάφορα κελλιά. Κοιμήθηκε ἐν Κυρίῳ στίς 14 Φεβρουαρίου τοῦ 1864 καί μέ πολλά διάφορα σημεία ἐφανέρωσε ὁ Κύριος τήν ἁγιότητά του. Ἀκόμη καί στίς μέρες μας, πολλές περιπτώσεις ἀναφέρθηκαν στίς ὁποῖες ὁ Ἅγιος συνέτρεξε ἀρωγός, ἰδιαίτερα σέ διάφορες πειρασμικές καταστάσεις. Τὸν Ὀκτώβριο τοῦ 2002, ἡ Ἱερὰ Σύνοδος τοῦ Πατριαρχείου Γεωργίας ἐνέγραψε στό ἁγιολόγιο τὸν ἀθωνίτη Γέροντα Ἱλαρίωνα τὸν Γεωργιανὸ (1776—1864).

www.tezaurliturgic.ro


## ΕΝ ΤΩι ΜΙΚΡΩι ΕΣΠΕΡΙΝΩι

Ἱστῶμεν Στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθά.

Μύρου τοῦ νοητοῦ, δοχεῖον θεοφόρε, ἐδείχθης Ἱλαρίων, πιστούς εὐωδιάζων Αὐτοῦ τῇ θείᾳ χάριτι.

Σίμβλοις τῆς σῆς ψυχῆς, ὡς μέλι θείαν χάριν, καμάτοις σου ἀτρύποις, καί πίστει θησαυρίσας, τιμῶσί σε μετάδωσον.

Εὖγε τῆς σῆς ψυχῆς, ἀγάπης πρός τόν κτίστην, ἀλλά καί πρός πλησίον, δι' ἧς ἐμεγαλύνθης συνών Χριστῷ μακάριε.

Δόξα...

Ἅγιος ὁ Θεός, Πατήρ Ἅγιος Λόγος, Ἅγιος θεῖον Πνεῦμα, Τριάς μονάς Ἁγία, ἕν κράτος ὁμοούσιον.

Καί νῦν...

Μήτηρ τοῦ Ἰησοῦ θεότητας χωρίον, ναέ ἡγιασμένε ἱλάσθητι καί σῶσόν σε πόθῳ μεγαλύνοντας.

Ἀπόστιχα Στιχηρά.

www.tezaurliturgic.ro


Ἦχος α'. Πανεύφημοι μάρτυρες.

Σπουδήν πᾶσαν ἔδειξας τηρεῖν τοῦ Χριστοῦ ἐντάλματα, ἀγωνισθείς ὑπέρ δύναμιν, τοῦ Θεοῦ τῇ χάριτι καί γάρ βασιλείαν, βιασταί ἁρπάζουσιν, ὡς ἔφη ὁ Σωτήρ ἥν ἀπέλαβες, ὅν καθικέτευε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τήν εἰρήνην καί τό μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Πεπόρευσαι ὅσιε ὀρθῶς, ἐν τοῖς δικαιώμασι τοῦ σοῦ Κυρίου καί εἴληφας, θεῖα χαρίσματα, ἀρεταῖς παντοίαις μάκαρ ἐκκοσμούμενος, Θεῷ εὐαρεστῶν ᾧ τό Ἅγιος, Ἅγιος, Ἅγιος, θεωθείς σύν τοῖς ἀγγέλοις νῦν, Ἱλαρίων, Τριάδι προσάδετε.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Ὡς μύρῳ ἑνούμενος Χριστῷ, μάκαρ εὐωδίασας, εὐωδιάζεις οὗ χάριτι, πιστοῖς ἀοίδιμε, ὡς γάρ σός ἠνοίγη, τάφος ὁ μυρίπνοος, τοῖς παροῦσιν πᾶσιν εὐωδία ἐφήπλωται, δηλοῦσα ὅσιε, παρρησίαν ἥνπερ κέκτησαι, πρός τόν κτίστην, ὅν ἡμῖν ἱλέωσαι.

Δόξα Πατρί καί Υἱῷ. Ἦχος β'.

Δεῦτε τόν τιμήσαντα τόν Λόγον τιμήσωμεν· ἐν ᾠδαῖς πνευματικαῖς ἐγκωμιάσωμεν λέγοντες· χαίροις ὁ θελχθείς τῷ πόθῳ τοῦ Χριστοῦ, ᾧ ἠκολούθησας ὁδούς φυλάξας σκληράς· ὁ καταδαπανήσας σαυτόν ἐν νηστείαις ἀγρυπνίαις καί προσευχαῖς, ὁ κοιμώμενος ἐν τοῖς κρεμαστῆρσι καί καθήμενος ὀ-

www.tezaurliturgic.ro


λίγον καί νῦν οἰκεῖν τούς οὐρανούς ἀπολαβών τῆς θεώσεως. Ἀλλά πρέσβευε Ἱλαρίων ὑπέρ τῶν τιμώντων σε.

Καί νῦν... Θεοτοκίον

Παρῆλθεν ἡ σκιά τοῦ νόμου, τῆς χάριτος ἐλθούσης, ὡς γάρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω παρθένος ἔτεκες, καί παρθένος ἔμεινας, ἀντί στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος, ἀντί Μωϋσέως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.



www.tezaurliturgic.ro



## ΕΝ ΤΩι ΜΕΓΑΛΩι ΕΣΠΕΡΙΝΩι

Στιχολογοῦμεν τήν α' στάσιν τοῦ *Μακάριος ἀνήρ*. Εἰς δέ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους ς' καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ὡς θαυμαστός σου ὁ βίος, Θεῷ εὐάρεστος, ὦ Ἱλαρίων πάτερ, ὅτι πόθῳ ἀσχέτῳ, ἠγάπησας παμμάκαρ ἐξ ὅλης ψυχῆς τόν Θεόν ὅν ἐδόξασας, τῇ παναρέτῳ καί θείᾳ σου βιοτῇ, ἀγαπήσας καί πλησίον σου.

Ἐν φυλακαῖς Ἱλαρίων τούς ἀδελφούς σου σπουδῇ, ὑπηρετῶν ἐδείχθης μιμητής τοῦ Κυρίου, ἐγγίσας γάρ θανάτῳ σοφέ, δι' αὐτούς ἐκομίσω τόν στέφανον, παρά Θεοῦ τῆς ἀγάπης συνδοξασθείς τῷ Χριστῷ σου παναοίδιμε.

Ὅλον σαυτόν τῷ Κυρίῳ, μάκαρ ἀνέθηκας, ἐν προσευχαῖς, νηστείαις, ἀγρυπνίαις θεόφρον, ἐγγίσας γάρ θανάτῳ πολλάκις σοφέ, δι' ἀγάπην τοῦ κτίστου σου, συνεδοξάσθης σύν μάρτυσι τῷ Χριστῷ, ᾧ

www.tezaurliturgic.ro


σωθῆναι ἡμᾶς πρέσβευε.

Ἔγκλειστος ὤν ἐν τῷ Πύργῳ, τῆς Νέας Σκήτεως, ἐχυρῶν τάς παρατάξεις πάτερ, τάς ἐνέδρας τά θράση, ἀνδρείως ὑπέμεινας δυνάμει Χριστοῦ, ἐθριάμβευσας ὅσιε καί νικηφόρος ἐγένου συνασκηταῖς ὅθεν δίδου νίκην ἄρασθαι.

Ὁ σεαυτόν ἐν τῷ κόσμῳ σταυρώσας ὅσιε, δι᾽ ἐντολήν Κυρίου, ὅν ἠγάπησας σφόδραν, βοήθει Ἱλαρίων συνασκηταῖς, τοῦ φιλεῖν τόν παμπόθητον, ἀγάπη φλέγεσθαι θείᾳ ἄδειν Θεῷ, Ἅγιος Ἅγιος Ἅγιος.

Θεοφιλῶς ὤν ἐν κόσμῳ πάτερ ἐβίωσας, ὑπηρετῶν πλησίον ὡς σεαυτόν ὁ φιλήσας, εἶτα δέ μονάσας ἐχθρούς νοητούς δι᾽ ἀγάπην τοῦ κτίστου σου, ὡς πολεμήσας ἀνδρείως χάριν πολλήν ἐκ Θεοῦ πάτερ ἀπείληφας.

Δόξα Πατρί ... Ἦχος πλ. α᾽.

Τῆς φωνῆς τοῦ εὐαγγελίου τοῦ Κυρίου ἀκούσας Αὐτῷ ἠκολούθησας τόν σταυρόν σου ἀράμενος οὗ μιμητής ἐγένου Ἱλαρίων μακάριε. Σταυρώσας γάρ σεαυτόν τῷ κόσμῳ ἐν πολλαῖς δέ παρά τοῦ ἀρχεκάκου πειρασμοῖς ὑπομείνας ἀπέλαβες τόν στέφανον τῆς ὑπομονῆς καί καρτερίας σου παρά τοῦ μισθαποδότου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὅν ἀγαπήσας ἔστερξας συμπάχειν μετ᾽ Αὐτοῦ, ὅθεν σύν Αὐτῷ νῦν

www.tezaurliturgic.ro


συνδεδόξασαι ᾧ πρέσβευε δεόμεθα ὑπέρ πάντων τῶν ἐκτελούντων σύν πόθῳ τήν μνήμην σου.

Καί νῦν ... Ἦχος ὁ αὐτός·

Ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειραγάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος, τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως, Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος, ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος, ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος, ὁ ὢν καὶ προών, καὶ φανείς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Εἴσοδος, Προκείμενον τῆς ἡμέρας καί τά Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα

(Κεφ. γ',1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁ-

www.tezaurliturgic.ro


λοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτὸν συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα.

(Κεφ. ε', 15-23 & ς', 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτό-

www.tezaurliturgic.ro


μως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τό Ανάγνωσμα.

(Κεφ. δ', 7-15)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δὲ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθείς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἐν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπή ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro


Εἰς τήν Λιτήν...Ἦχος α'.

Ὡς θαυμαστός σου ὁ βίος καί ἀξιέπαινα τά κατορθώματα Ἱλαρίων μακάριε· ἐν κόσμῳ ὤν ἐπολιτεύσω θεάρεστα, ἐν πάσῃ εἰλικρινείᾳ τόν Θεόν ἀγαπήσας καί ὑπηρετήσας τούς συνανθρώπους σου· εἶτα μονάσας ἐν τῷ Ὄρει τοῦ Ἄθωνος ἠγωνίσω ὑπέρ φύσιν καί τόν ὄφιν ἀπέκτεινας τόν ἐνεδρεύσαντά σοι ὅσιε καί Θεόν ἐδόξασας τῇ παναρέτῳ πολιτείᾳ ἀντιδοξασθείς ὑπ' Αὐτοῦ ἱερώτατε.

Ἐγκλεισθείς ἐν τῷ Πύργῳ τῆς Σκήτης καί πολλούς πειρασμούς ὑπομείνας, ὑπό τοῦ ἀρχεκάκου ἐχθροῦ δι' ἀγάπην Κυρίου ὑπερβαλλόντως δεδόξασαι, χάριν εἰληφώς βοηθεῖν τοῖς πειραζομένοις, διό αἰτοῦμέν σε βοήθει ἡμῖν νίκην ἄρασθαι κατά τοῦ ἀντιπάλου καί σωθῆναι τάς ψυχάς ἡμῶν.

Δεῦτε μονασταί συνελθόντες τιμήσωμεν τόν γενναῖον τοῦ Χριστοῦ στρατιώτην, τόν μέγαν Ἱλαρίωνα, οὗτος γάρ θεοφιλῶς πολιτευσάμενος ἡγιάσθη παρά Κυρίου, καί παρέχει ἡμῖν ἁγιασμόν τοῖς τιμῶσιν Αὐτοῦ τήν μνήμην τήν σεβάσμιον.

Ἦχος β'.

Ἅγιε δή τῶν ἀγγέλων οἱ χοροί σύν ἡμῖν ἑορτάσατε, ἐν τῇ μνήμῃ τοῦ θεόφρονος, Ἱλαρίωνος, καί δοξάσατε Χριστόν τόν ἐν τοῖς ἁγίοις ἀναπαυόμενον καί ἐνεργοῦντα ἐν αὐταῖς τά θαυμάσια.

www.tezaurliturgic.ro


Δόξα... Ἦχος γ'.

Ἱλαρίων ὅσιε ἐν τῇ μνήμῃ σου παράσχου καθ' ἅ ἕκαστος χρῄζει ἁρμοζόντως, ἄλλῳ μέν τήν ψυχικήν ὑγείαν προμηθούμενος ἄλλῳ δέ τήν σωματικήν· ἐν δέ τῷ συνδέσμῳ τῆς ἀγάπης συνάψεις πάντας ἡμᾶς, ἵνα ἐν ἑνί στόματι καί μιᾷ καρδίᾳ δοξάζομεν τόν Κύριον, τόν ὕμνον τόν γλυκύτατον τῇ Τριάδι, ᾄδοντες, Ἅγιος Ἅγιος Ἅγιος σύν ἀσωμάτοις καί ὑμῖν τοῖς ἁγίοις, Πατέρα Λόγον Πνεῦμα Ἅγιον δοξάζοντες εἰς τούς αἰῶνας.

Καί νῦν. Ὁ αὐτός.

Ἁπάντων κυριεύουσα τῶν κτισμάτων Δέσποινα, δεινῶς κυριευθεῖσαν, τοῖς πάθεσι Θεόνυμφε, τὴν ψυχήν μου ἐλευθέρωσον ἐν τάχει, φαρμάκω σῆς πρεσβείας, καὶ καταδούλωσον τῷ Υἱῷ καὶ Θεῷ σου.

Εἰς τόν Στίχον, Στιχηρά προσόμοια.

Ἦχος πλ.α'. «Χαίροις ἀσκητικῶν».

Χαίροις τῶν ἀσκητῶν κορωνίς, θείας ἀγάπης ἐραστής παναοίδιμε, ὁ πύργος τῆς εὐσεβείας, ὁ καθαιρέτης ἐχθρῶν, ὁ ὑπηρετήσας τόν πλησίον σου, ὁ νοῦς ὁ οὐράνιος, ὁ στερρός καί ἀκλόνητος, ὁ ἐν τῷ Πύργῳ τάς ἐνέδρας τοῦ δράκοντος, ἀνδρικώτατα ὑπομείνας θεσπέσιε, ὅθεν καί ἐστεφάνωσαι, χειρός ἐκ κυρίου σου, χεῖρα διδούς βοηθείας συνασκηταῖς νῦν τιμῶσί σε, συνάξοις οὕς πάτερ μετά σοῦ ὑμνεῖν

www.tezaurliturgic.ro



Τριάδα τήν ὁμοούσιον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.

Πόθῳ τῷ πρός Θεοῦ ἀκλινῶς ὅλον τόν βίον ὥσπερ σφάγιον ἤνεγκας τῷ σέ ὑπέρ νοῦν καί λόγον ἠγαπηκότι Χριστῷ, ὅν εἰλικρινῶς πάτερ ἠγάπησας, ἀσκήσας στερρότατε Ἱλαρίων μακάριε καί πρός τά ἄνω τήν πορείαν ποιούμενος, τά ἐγκόσμια καταλείψας ὡς ἄσαρκος, ὅθεν ἀνατεινόμενος πρός Κύριον ὅσιε, ἔνθεος ὤφθης χαρίτων καί ἀρετῶν πλήρης ὅσιε, ἀλλά ἡμῖν δίδου μιμηθεῖναι σου τόν βίον συναυλισθεῖναί σοι.

Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος τόν Κύριον.

Δεῦτε συνασκηταί τοῦ κλεινοῦ, συναθροισθέντες τόν Θεόν μεγαλύνομεν, τόν δείξαντα ἡμῖν θεῖον, καθοδηγόν ἀπλανῆ, τόν γενναῖον ὄντως Ἱλαρίωνα, ὅν ἔχοντες πρόμαχον, τῷ αὐτοῦ παραδείγματι, φάρον πυξίδα, πρός Θεόν ἀνατρέχομεν, καί πρός ἔνθεον πολιτείαν ἀγόμεθα, ἔρωτι πυρπολούμενοι, Τριάδα δοξάζομεν, ᾄδοντες ὕμνον σύν τούτῳ Ἅγιος, Ἅγιος, Ἅγιος Πατήρ Λόγος Πνεῦμα, μία φύσις, μία δόξα, μία προσκύνησις.

Δόξα ... Ἦχος πλ.β'.

Δεῦτε συμμονασταί τοῦ τρισμάκαρος Ἱλαρίωνος συνελθόντες ἐγκωμιάσωμεν ὕμνοις λέγοντες· Χαίροις ὁ τῶν ἐντολῶν τό κεφάλαιον πληρώσας, ὁ ἀγα-

www.tezaurliturgic.ro


πήσας ἐξ ὅλης καρδίας τόν Κύριον καί τόν πλησίον ὡς σεαυτόν. Χαίροις ὁ πολλούς ἱδρῶτας καί πόνους διά Χριστόν ὑπομείνας καί τῶν δαιμόνων τάς προσβολάς ἐνεγκών ἀνδρικώτατα, οὕς καταβέβληκας τῇ συμμαχίᾳ τοῦ Πνεύματος, ὅθεν πολλοῖς ἐγένου διδάσκαλος καί ὁδηγός σωτήριος ὅσιε· ἀλλ᾽ ἔτι καί νῦν τῷ σῷ βίῳ καί παραδείγματι, καί ἡμᾶς κατευθύνοις πρός Κύριον, ᾧ πρέσβευε δεόμεθα τῆς οὐρανίου Βασιλείας κληρονόμους γενέσθαι τούς τιμῶντάς σε.

Καί νῦν. Ἦχος ὁ αὐτός.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις. Τρισάγιον.

Ἀπολυτίκιον. Ἦχος γ'. «Θείας Πίστεως».

Ἔργοις ἔλαμψας, θεοσεβείας ὑπηρέτησας φυλακισμένους, μέχρι θανάτου τήν σπουδήν ἐνδεικνύμενος, ἀσκητικῶς δέ ἐν Ἄθω διέλαμψας, ἀγωνισθείς ὑπέρ φύσιν μακάριε, Ἱλαρίων ὅσιε Χριστόν τόν Θεόν ἱκέτευε δωρήσασθαι ἡμῖν τό μέγα ἔλεος.

Καί νῦν. Ὁ αὐτός.

Σὲ τὴν μεσιτεύσασαν…

www.tezaurliturgic.ro


## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τόν τάφον σου Σωτήρ.

Ὡς ἄστρον νοητον, Γεωργίας ἐκ χώρας, ἀνέτειλας σοφέ, Ἱλαρίων θεόφρον, πρός ὄρος δέ τό τοῦ Ἄθωνος, ὡς ἐλθών εὐηρέστησας, τῷ Θεῷ ὑφ' οὗ καταυγασθείς πᾶσι φαίνεις, θείαν ἔλλαμψιν, τοῖς προσιοῦσι σοι πίστει, πατήρ ἡμῶν ὅσιε.

Δόξα ... Τό αὐτό.

Καί νῦν ... Ὅμοιον.

Θεότητος ναέ, σύ θεόγραφος βίβλος, ἡ μήτηρ τοῦ Χριστοῦ νυμφοστόλε ἁγίων, νυμφών ὡραιότατε εὐωδίας παράδεισε, ἡμῖν καταξίωσον τῆς οὐρανίας βασιλείας, ὕμνον Ἅγιος Ἅγιος, Ἅγιος ἄδειν συμφώνως ἀγγέλοις τε.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τόν τάφον σου Σωτήρ.

Ἐν πύργῳ ἐγκλεισθείς Νέας Σκήτεως πάτερ, ἀσκήσας ἀληθῶς ὑπέρ ἄνθρωπον ὤφθης, ἀδάμας τις στερρότατος συμμαχίᾳ τοῦ Πνεύματος καί ἐχθρῶν βουλάς ὑφ' οὗ σθενούμενος πάσας, ἐθριάμβευσας καί νικηφόρος ἐγένου, λαβών στέφος ἄφθαρτον.

www.tezaurliturgic.ro



Δόξα ... Τό αὐτό.

Καί νῦν ... Ὅμοιον.

Ἐγένου ὑπέρ νοῦν τῆς θεότητος θρόνος τεκοῦσα Μαριάμ τόν Σωτῆρα τοῦ κόσμου, τοῦ σῶσαι τό βρότειον, ἐκ φθορᾶς συνέγεῖραι τε, ὅν δοξάζομεν καί μεγαλύνομεν πόθω, μακαρίζοντες, ὡς τοῦ Θεοῦ σε μητέρα τήν μόνην πανάμωμον.

Μετά τόν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ.δ'. Τήν σοφίαν καί λόγον.

Γεωργίας τόν γόνον τόν θαυμαστόν, Νέας Σκήτεως καύχημα οἰκιστήν, τοῦ Ὄρους ἀνάστημα, τόν οὐράνιον ἄνθρωπον, Μητρός Χριστοῦ ἐκλόγιον, Θεῷ τόν εὐάρεστον, ἀγωνιστήν Κυρίου τόν μέγαν τιμήσωμεν· ὅτι ἐντυγχάνει, ὑπέρ πάντων Κυρίῳ, σωθῆναι δεόμενος, τούτου μνήμην τούς σέβοντας· ὅν τιμῶντες βοῶμεν πιστῶς, Ἅγιε μή διαλείπῃς ἡμᾶς, σώζειν ἐκ παντοίας πάτερ περιστάσεως, ἄδοντας ὕμνον Τριάδι Ἅγιος Ἅγιος, Ἅγιος.

Δόξα ... Τό αὐτό.

Καί νῦν ... Θεοτοκίον. Ὅμοιον.

Νυμφοστόλε ἁγίων ψυχῶν ἁγνή, χαῖρε νύμφη ἀνύμφευτε τοῦ Πατρός, νυμφών ὡραιότατε, οὐρανέ τῆς θεότητος, Λόγου Ναέ Πανάγιε τοῦ Πνεύματος σκήνωμα, τῆς εὐωδίας ἄνθος ὡραῖος παράδεισος,

www.tezaurliturgic.ro



κεχαριτωμένη Θεοτόκε Παρθένε, Θεοῦ τό ἐκλόγιον τῆς Τριάδος κειμήλιον, πάντα πόθου νικῶσα στοργή, πρέσβευε τῷ σῷ Υἱῷ καί Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι ἄδουσιν ὕμνον Τριάδι, Ἅγιος, Ἅγιος, Ἅγιος.

Οἱ Ἀναβαθμοί, τό α' Ἀντίφωνον τοῦ δ' Ἤχου.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περί πάντων ὧν ἀνταπέδωκεν ἡμῖν;

Πᾶσα πνοή ... Εὐαγγέλιον Ὁσιακόν. Μετά τόν Ν' Ψαλμόν.

Δόξα ... Ταῖς τοῦ σοῦ Ὁσίου ...

Καί νῦν ... Ταῖς τῆς Θεοτόκου ...

Εἶτα τό Ἰδιόμελον.

Στίχος. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός ...

Ἦχος πλ.β'.

Ἄνθρωπε τοῦ Θεοῦ καί πιστέ θεράπον τῶν μυστηρίων Αὐτοῦ Ἱλαρίων μακάριε, ὑπέρ ἡμῶν τόν Σωτῆρα ἱκέτευε ρυσθῆναι πειρασμῶν καί παντοίων θλίψεων, τούς τήν σεβάσμιον μνήμην σου τιμῶντας καί τῆς τῶν οὐρανῶν Βασιλείας ἀξιωθῆναι.

Ὁ Πρῶτος Κανών τῆς Θεοτόκου.
Εἶτα ὁ Κανών εἰς τόν Ὅσιον.

www.tezaurliturgic.ro


Ὠδή α'. Ἦχος πλ. δ'. «Ἀρματηλάτην Φαραώ».

Καθάπερ ἄστρον νοητόν ἀνέτειλας ἐκ Γεωργίας σοφέ καί νοητῶς πάτερ τούς πιστούς ἐφώτισας, τῷ φέγγει τῆς θεότητος, ἧς τήν χάριν πλουτίσας φωστικῶς ὥσπερ ἔσοπτρον φαίνεις τῆς Τριάδος τήν ἔλλαμψιν.

Καθιλαρύνεις τάς ψυχάς καί σώματος σῇ παναρέτῳ ζωῇ, Ἰλαρίων πάτερ, ὁδηγῶν τούς ἅπαντας, στύλος καθάπερ φώταυγας πρός ἀνέσπερον φέγγος τῆς τρισηλίου θεότητος τούς σοί ποθομένους θεσπέσιε.

Μετειληφώς τῆς ἀθανάτου γνώσεως, Πάτερ ἀοίδιμε, τῇ πρός Θεόν νεύσει, Ἱλαρίων ὅσιε, ἐγένου προσιοῦσί σοι καί τρυφή ἡδυτάτη καί ὁδηγός πρός τά κρείττονα, τούτοις καταλλάσσων τῷ πλάσαντι.

Θεοτοκίον

Χαῖρε κατάρας τῆς ἀρχαίας λύτρωσις καί εὐλογίας ἁγνή, πρός τό βροτῶν γένος, θεϊκή ἀντίδοσις, Θεόν γάρ ἐσωμάτωσας εὐλογίαν διδόναι καί Βασιλείαν οὐράνιον Θεοτόκον σε μεγαλύνουσι.

Ὠδή γ'. Οὐρανίας ἁψίδος.

Βασιλεῖς Ἱλαρίων, ὑπηρετῶν ἔδειξας, πᾶσαν προθυμίαν θεόφρον προφανερούμενος, ὑπακοήν ἀληθῆ, πρός τόν Δεσπότην τῶν ὅλων, ὅνπερ ἐξ ἰσχύος σου πάσης ἠγάπησας.

Ὑπηρέτης ἐγένου ἐν φυλακαῖς ὅσιε, τῶν φυλα-

www.tezaurliturgic.ro


κισμένων δεικνύων, τήν σήν συμπάθειαν, μάκαρ ἀγάπην πολλήν, μέχρι θανάτου θεόφρον, κινδυνεύων ἄριστε ὑπέρ πλησίον σου.

Σκήτη τέρπου καί σκίρτα καί τόν Θεόν δόξαζε, ὅτι ἐν τῷ Πύργῳ σου θεῖος ἀνήρ διέπρεψε καί κατετρόπωσε, τάς τῶν ἐχθρῶν παρατάξεις, τῷ σταυρῷ φραξάμενος τοῦ παντοκράτορος.

Θεοτοκίον

Σκέπε φύλαττε Μῆτερ καί πρός Θεόν ἴθυνον, τούς σέ μεγαλύνοντας πόθῳ ὡς Θεομήτορα, καί τῶν δαιμόνων βουλάς, διασκεδάσεις δυνάμει, τοῦ Υἱοῦ σου σώζουσα τούς δεομένους σου.

Κάθισμα τοῦ Ὁσίου.

Ἦχος πλ.δ'. «Τήν σοφίαν καί λόγον».

Θαυμαστός σου ὁ βίος καί ἱλαρός καί θαυμάτων ἀνάπλεως προφανῶς καί γάρ τό κεφάλαιον ἐντολήν σύ ἐπλήρωσας, ὡς ἀγαπήσας Κύριον ἐξ ὅλης καρδίας σου, μετείληφας τῆς γνώσεως τῆς τούτου μακάριε, ὅθεν καί πλησίον, ἀγαπήσας ἐγένου, ναός θείου Πνεύματος χαρισμάτων ἀνάπλεως, ὅθεν μνήμην τιμῶμεν τήν σήν· πρέσβευε ὑπέρ ἡμῶν τῷ Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, ᾄδουσιν ὕμνον Τριάδι, Ἅγιος, Ἅγιος, Ἅγιος.

Δόξα τό αὐτό.

Καί νῦν. Ὅμοιον.

Παναγία Παρθένε Μήτηρ Χριστοῦ, οὐρανέ τῆς

www.tezaurliturgic.ro


θεότητος λογικέ, παράδεισε ἔμψυχε, κιβωτέ ἁγιάσματος, εὐλογημένη Δέσποινα Ἀδάμ ἡ ἀνάκλησις, ἡ παγγενής καί Εὔας τοῦ γένους ἡ λύτρωσις, πάντων σωτηρία τῶν πιστῶν Θεοτόκε, αἰτία θεώσεως κεχαριτωμένη Μαρία, Ζωήν μόνη τεκοῦσα Χριστόν, πρέσβευε τῷ σῷ Υἱῷ καί Θεῷ, βασιλείαν δοῦναι τήν οὐράνιον, ἄδουσιν ὕμνον Τριάδι, Ἅγιος, Ἅγιος, Ἅγιος.

Ὠδή δ'. «Εἰσακήκοα Κύριε».

Χαῖρε σκεῦος πολύτιμον, τό τοῦ Παρακλήτου πάτερ ἀοίδιμε, τό τήν ἔλλαμψιν δεχόμενο, ἥν καί δοίης πᾶσι τοῖς τιμῶσι σε.

Ὥσπερ δένδρον ὑψίκομον ἀρετῶν πληθύει κατακοσμούμενον καί καρπούς πιστοῖς διδόμενον, Ἱλαρίων ὤφθης παμμακάριστε.

Πάτερ ὅσιε πρέσβευε τοῖς συνασκηταῖς σου ἡμῖν δωρήσασθαι καί μετάνοιαν καί δάκρυα καθαρθῆναι ὄψεσθαι τόν Κύριον.

Θεοτοκίον

Χαῖρε νύμφη ἀνύμφευτε τοῦ Πατρός τοῦ Λόγου μήτηρ πανάμωμε, θείου Πνεύματος θησαύρισμα (ἁγίασμα) ὁ ναός Τριάδος ὁ πανάγιος.

Ὠδή ε'. «Ἵνα τί μέ ἀπώσω».

Ἐκλογῇ θείᾳ ὤφθης χαρισμάτων ἔμπλεως τοῦ θείου Πνεύματος, σκότος ἐκδιώκων τῆς δεινῆς ἁμαρτίας θεόσοφε, ἀλλά ὁδηγήσεις, πρός τρίβους

www.tezaurliturgic.ro


θείας σωτηρίας, Ἱλαρίων τιμῶντας τήν μνήμην σου.

Ὁδηγός προσιοῦσι, πρός Θεόν γενόμενος σύν τούτοις ὅσιε, νῦν εὐφραίνῃ πάτερ, ἐν σκηναῖς, τοῦ Θεοῦ αὐλιζόμενος, μεθ' ὧν μή ἐλλίπης, πρός πόλιν ἕλκων τῆς Τριάδος τούς τιμῶντας σύν πόθῳ τήν μνήμην σου.

Πολυτρόποις ἐνέδραις πειρασθείς τοῦ δράκοντος τοῦτου ἠφάνισαι, τῇ Χριστοῦ δυνάμει θριαμβεύσας τήν τούτου ἀσθένειαν, καί τούς πλανωμένους, ὑπ'αὐτοῦ διορθούμενος χάριτι.

Θεοτοκίον

Χαῖρε ὄρος Κυρίου τοῦ Χριστοῦ παλάτιον τό εὐαγέστατον, πύλη σωτηρίας, κιβωτέ ἁγιάσματος ναέ θεότητος, χαῖρε θεοτόκε, νυμφών ὁλόφωτε τοῦ Λόγου εὐωδίας ὡραῖε παράδεισε.

Ὠδή στ΄. «Ἰλάσθητί μοι Σωτήρ».

Παρά Θεοῦ εἰληφώς τήν τῶν θαυμάτων ἐνέργειαν, ἐπίσκεψαι καί ἡμᾶς Ἱλαρίων ὅσιε, ψυχάς καί τά σώματα τῶν συνασκητῶν σου καθ' ἑκάστην ἐξιώμενος.

Θαῦμα θαυμάτων καινόν, βροτός ὁ Λόγος γενόμενος, λογοποιεῖ τούς βροτούς, τούς Αὐτόν πιστεύοντας, καί μάρτυς ὁ ὅσιος θεῖος Ἱλαρίων, ὁ τήν χάριν κομισάμενος.

Ἔσοπτρον σύ καθαρόν, θείας ἐλλάμψεις δεχόμενον, φαίνον πιστοῖς τηλαυγῶς, Θεοῦ θείᾳ χάριτι, καθ'ἕνωσιν γέγονας, θεός κατά χάριν καί φωτίζεις

www.tezaurliturgic.ro


προσιόντας σοι.

Θεοτοκίον

Χαῖρε ἐλπίς ἀγαθή ἀπεγνωσμένων βοήθεια, σκέπη φρουράς τῶν πιστῶν, νοσούντων πανάκεια, χαῖρε ξένον θαῦμα ἀνερμήνευτον μυστήριον.

Κοντάκιον τοῦ Ὁσίου. Ἦχος Πλ.δ'

«Τῇ Ὑπερμάχῳ».

Ὡς νουνεχής ὦ Ἱλαρίων λίαν πάνυ, ἀκολουθήσας τῷ Χριστῷ μεθ' οὗ δεδόξασαι νῦν ἐποπτεύεις ὄρους Ἄθω τούς μονάζοντας καί βοηθεῖς αὐτοῖς καί πᾶσι τοῖς καλοῦσι σε, παρρησίαν ὡς ἔχων πρός Κύριον ὅθεν κράζομεν· **Χαίροις πάτερ ἀοίδιμε.**

Ὁ Οἶκος.

Ἄνθρωπος οὐρανόφρον θεοφόρε ἐδείχθης, ὁ νῦν σύν ἀσωμάτων τοῖς χοροῖς ἄδων τήν τρισάγιον ᾠδήν τῷ πρύτανι Θεῷ ἀπαύστως, ἐν βίῳ γάρ ὁλόκληρον σαυτόν Κυρίῳ δέδωκας ὅθεν ἀκούεις ταῦτα·

Χαῖρε Θεοῦ ὁ δοξάσας πάνω· Χαῖρε σαυτόν ὁ τροπώσας αὖθις.
Χαῖρε ὁ βιώσας ζωήν τήν ἰσάγγελον.
Χαῖρε ὁ αὐξήσας τό δοθέν σοι τάλαντον.
Χαῖρε ὕψος δυσθεώρητον βιοτῆς πνευματικῆς.
Χαῖρε βάθος ταπεινώσεως τῆς μιμήσεως Χριστοῦ.
Χαῖρε ὅτι ἀνῆλθες ἀρετῶν θεῖον ὕψος.

www.tezaurliturgic.ro


Χαῖρε ὅτι ἡνώθης τῇ ἀγάπῃ Τριάδι.
Χαῖρε πιστοῖς κανών καί ἀρχέτυπον.
Χαῖρε καλῶν πολλῶν ἀκροθίνιον.
Χαῖρε πολλοῖς φωτισμοίς ἐν βίῳ.
Χαῖρε πυξίς ὁδηγός πρός πόλον.
**Χαῖροις πάτερ ἀοίδιμε.**

Τό Συναξάριον τῆς ἡμέρας, ἤτοι τῆς ιδ' τοῦ Φεβρουαρίου καί εἶτα:

Τῇ αὐτῇ ἡμέρα μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου καί θεοφόρου Πατρός ἡμῶν Ἱλαρίωνος τοῦ Ἴβηρος.

Στίχος·

*Ἠγάπησας Θεόν Ἱλαρίων θεόφρον, ψυχάς δέ ὁδηγός πρός Αὐτόν ὡς ἐχέφρον.*

Ταῖς αὐτοῦ εὐχαῖς καί ἱκεσίαις Χριστέ ὁ Θεός ἡμῶν ἐλέησον καί σῶσον ἡμᾶς.

Ὠδή ζ'. «.Παῖδες Ἑβραίων ἐν καμίνῳ».

Γέγονας στῦλος εὐσεβείας καί ὑπομονῆς καί καρτερίας, ἀγαπήσας Θεοῦ ἐξ ὅλης τῆς καρδίας, ἀλλά ἡμῖν βοήθησον τοῦ φιλεῖν Θεόν τριάδα.

Κρεμαστῆρσι κρεμάμενος τοῦ ὕπνου μετελάμβανες ὀλίγον θεοφόρε, προσευχαῖς ἀσκητά νηστείαις ἀγρυπνίαις, λατρεύων τῇ θεότητι Ἱλαρίων ἐκ καρδίας.

Γλῶσσας ὁμίλησας θεόφρον θείῳ πνεύματι ἀ-

www.tezaurliturgic.ro


γνώστους ξένον θαῦμα ὁ Χριστός ὑπέρ νοῦν τά πάντα γεγονέσοι, ὦ πάτερ εὐηρέστησας, σφόδρα ὅνπερ ἀγαπήσας.

Θεοτοκίον

Χαῖρε ὁλόφωτε παρθένε, καθαρώτατον ἁγνείας θεῖον σκεῦος, λογικές οὐρανέ ναός ὁ τῆς Τριάδος, σκηνή χαῖρε παράδεισε, τῆς θεότητος χωρίον.

Ὠδή η'. «Τόν βασιλέα».

Ὅλον τόν βίον, ὡς τῷ Χριστῷ προσενέγκας, ὥσπερ σφάγιον εἴληφας χάριν, πάτερ θεραπεύειν ψυχάς τῶν σέ αἰτούντων.

Θεῷ ἀμέμπτως, πολιτεύθεις Ἱλαρίων, συναγάλλῃ, ἀγγέλοις ὁσίοις, ἄδων τῇ τριάδι τρισάγιον τόν ὕμνον.

Πόθῳ τῷ Θείῳ, ταῖς προσευχαῖς ἀνενδότως, ἐκαρτέρεις ἀεί θεοφόρε, ἑνωθείς Τριάδι, ὑμνεῖς ἥν εἰς αἰῶνας.

Θεοτοκίον

Παστάς τοῦ Λόγου χαῖρε ναέ τῆς Τριάος, κιβωτέ ἁγιάσματος θεία, χαῖρε Θεοτόκε ἡ κεχαριτωμένη.

Ὠδή θ'. «Κυρίως Θεοτόκον».

Παμμάκαρ Ἱλαρίων, δέχου θεοφόρε συνασκητῶν σου τό θεῖον ἐφύμνιον καί πρός μονάς οὐρανίως ἡμᾶς συνάγαγε.

Ἐγένου κατά χάριν, Θεός ὦ Ἱλαρίων, θεοῖς δέ χάριτι σοί προσανέχοντας, καί ἰατρεύεις νοσοῦντας

www.tezaurliturgic.ro


τούς σοι προστρέχοντας.

Νῦν πάτερ συναγάλλῃ ἅμα τοῖς ἁγίοις καί τοῖς ἀγγέλοις ὁρῶν τήν λαμπρότητα τοῦ σέ φιλήσαντος Λόγου ὅνπερ ἠγάπησας.

Θεοτοκίον

Μαρία θεοτόκε, κεχαριτωμένη, ᾄδειν σύν σοί σέ τιμῶντας ἀξίωσον, Ἅγιος, Ἅγιος, Ἅγιος ὁ Θεός ἡμῶν ἐλέησον ἡμᾶς.

Ἐξαποστειλάριον.

Ἦχος γ'. «Ὁ οὐρανόν τοῖς ἄστροις».

Εὐωδίας θεϊκῆς, ἐνέπλησέ σε ὁ Χριστός καί κατεφώτισε λαμπρῶς, ὅθεν φωτίζεις καί ἡμᾶς, ὦ Ἱλαρίων πάτερ, τοῦ πνεύματος χάριτι.

Θεοτοκίον. Ὅμοιον.

Χαῖρε ναέ πανάγιε, τῆς θεότητος θρόνε, καθέδρα καί παλάτιον, θρόνε Θεοῦ τοῦ ζῶντος, Θεόν Λόγον γάρ ἔτεκες τοῦ Πατρός εὐδοκία.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχους δ',καί ψάλλομεν Στιχηρά Προσόμοια.

Ἦχος δ'. «Ὡς γενναῖον ἐν μάρτυσι».

Ὡς ἀδάμας στερρότατος Ἱλαρίων ἰσάγγελε, γεγονώς τῇ χάριτι θείου πνεύματος, ἐχθρῶν ἐπάρσεις κατέρραξας, δαιμόνων βουλεύματα, πολεμούντων δολερῶς, πρός Θεόν δέ ἀνέδραμες, ὅν ἠγάπησας,

www.tezaurliturgic.ro


παρ'οὗ δόξης τυχών ἄδεις συμφώνως, μετ' ἀγγέλων τῷ ἐν Τριάδι Ἅγιος, Ἅγιος, Ἅγιος.

Ἱλαρίων μακάριε, τήν στενήν καί ἐπίπονον, διανύσας τρίβον εἰς πλάτος ἔφθασας τοῦ παραδείσου πτερούμενος, τῇ αὔρα τοῦ Πνεύματος, καί ἐδέξω προφανῶς, ἐκ Θεοῦ νίκης στέφανον, ὅν ἱκέτευε, σωτηρίας τυχεῖν τούς σέ τιμῶντας, ὕμνοις ἄδοντας Τριάδι Ἅγιος, Ἅγιος, Ἅγιος.

Ἱλαρίων ἐδόξασας, ἀρεταῖς σου τόν Κύριον, καί στερρᾷ ἀσκήσει ὅνπερ ἠγάπησας, ὁμοίως δέ καί πλησίον σου, τηρήσεις κεφάλαιον, ἐντολῶν τῶν τοῦ Χριστοῦ, μεθ' οὗ νῦν συνδεδόξασαι, ἀλλά πρέσβευε, ἰσχύν δοῦναι ἡμῖν τοῦτον φιλεῖσαι, ὕμνον ἄδειν τῇ Τριάδι Ἅγιος, Ἅγιος, Ἅγιος.

Ὁ Χριστός πάντα γίνεσαι, σοί Αὐτόν ἀγαπήσαντι, Ἱλαρίων πάτερ ὁ ἱλαρώτατος, πρῶτος ἡμᾶς γάρ ἠγάπησε, σταυρόν τε ὑπέμεινε, ὅπως σώσῃ τάς ψυχάς ἐκ θανάτου λυτρούμενος, ᾧ εὐάρεστος ὑπέρ λίαν ἐγένου τῇ μιμήσει παθῶν Τούτου, ὅν δυσώπει, σῶσαι ἡμᾶς τούς τιμῶντας σε.

Δόξα ... Ἦχος β'.

Χορείαν συστησάμενοι δόξαν τῷ ποιητῇ καί Θεῷ ἀναπέμψωμεν, ἐπί τῇ μνήμῃ τοῦ θεοφόρου πατρός Ἱλαρίωνος τοῦ πάνυ. Οὗτος γάρ τῷ Θεῷ εὐηρέστησας, πόνοις καί ἀγῶσι στερροῖς, πρός τόν πολέ-

www.tezaurliturgic.ro


μιον ἐχθρόν, οὗ τήν κάραν συνέτριψε, τῇ ἰσχΰϊ τοῦ Χριστοῦ δυναμωθείς. Ὁ ἐγκλεισθείς ἐπί τριετίαν, ἐν τῷ πύργῳ τῆς σκήτεως, ἔνθα ὑπερφυεῖς ἀγῶνας διήνυσε, ὁ δοξάσας Χριστόν ἐν τοῖς μέλεσιν αὐτοῦ, παρ' οὗ δικαιοσύνης τόν στέφανον δεξάμενος αἰτεῖται τοῖς τιμῶσι τήν θείαν μνήμην Αὐτοῦ, ἱλασμόν καί τό μέγα ἔλεος.

Καί νῦν ... Ἦχος ὁ αὐτός.

Τήν πάσαν ἐλπίδα μου εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην σου.

Δοξολογία Μεγάλη.



www.tezaurliturgic.ro


ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τά Τυπικά, οἱ Μακαρισμοί, καί ἐκ τῶν Κανόνων τοῦ Ὁσίου ἡ γ' καί ς' ᾠδή.

Ἀπόστολος.

Προκείμενον· Ἦχος βαρύς.

Καυχήσονται ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πρός Γαλάτας Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα.

(Ἐφ. 5,8-19)

Ἀδελφοί, ὁ καρπός τοῦ Πνεύματος...

Ἀλληλούϊα. Ἦχος α'.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καί οἱ ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Ὅτι ἐξελέξατο Κύριος τήν Σιών.

Εὐαγγέλιον·

Ἐκ τοῦ κατά Ματθαῖον (δ',25- ε',12)

Τῷ καιρῷ ἐκείνῳ, ἠλοκούθησαν τῷ Ἰησοῦ...

Κοινωνικόν

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

www.tezaurliturgic.ro


## ΠΕΡΙΕΧΟΜΕΝΑ


1. Σύντομος Βίος σελ. 5
2. Μικρός Ἑσπερινός σελ. 7
3. Μεγάλος Ἑσπερινός σελ. 10
4. Λιτή σελ. 15
5. Ὄρθρος σελ. 19
6. Θεία Λειτουργία σελ. 32




www.tezaurliturgic.ro





*ISBN: 978-960-98873-6-6*